# Diuisio affectionum

## Διαίρεσις τῶν παθῶν

Τὰ μέν ἐστι σωματικά, τὰ δὲ ψυχικά. Καὶ σωματικὰ μὲν λέγομεν γαστρι-μαργίαν, πορνείαν, μέθην, ἀσέλγειαν· ψυχικὰ δὲ μῖσος πρὸς τὸν πλησίον, φθό-νον, ἔριν, κενοδοξίαν, ὑπερηφανίαν· ταῦτα δὲ ἐνεργοῦσιν εἰς τὴν ἡμετέραν ψυχήν, ἀπούσης ἀγάπης καὶ ἐγκρατείας· παρούσης γὰρ ἀγάπης καὶ ἐγκρατείας, ταῦτα πάντα ἐξαφανίζονται· τὰ μὲν ὑπὸ ἀγάπης πνευματικῆς, τὰ δὲ ὑπὸ νηστεί-ας καὶ ἐγκρατείας. Τότε γὰρ ὁ νοῦς, καὶ τὸ οἰκεῖον φῶς ἀπολαμβάνει, καὶ τὸν Θεὸν ἀπαρεμποδίστως ὁρᾷ.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.